## ΠΡΟΒΛΗΜΑ Ε C

Πῶς εἴρηται τὸ ‘ποιητὴν δ’ ἄρα Ἔρως διδάσκει’

Collocuntur Sossius Senecio et alii

1. *Πῶς εἴρηται τὸ* (Eur. fr. 663)

‘ποιητὴν δ’ ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν’,

ἐζητεῖτο παρὰ Σοσσίῳ Σαπφικῶν τινων ᾀσθέντων, ὅπου καὶ τὸν Κύκλωπα ‘μούσαις εὐφώνοις ἰᾶσθαι’ φησὶ ‘τὸν ἔρωτα’ Φιλόξενος (fr. 7). ἐλέχθη μὲν οὖν ὅτι πρὸς πάντα τόλμαν ὁ ἔρως καὶ καινοτομίαν †συγχωρῆσαι δεινός ἐστιν, ὥσπερ καὶ Πλάτων (Conv. 203 d. Tim. 69 d) ‘ἴτην’ αὐτὸν καὶ ‘παντὸς ἐπιχειρητὴν’ ὠνόμασεν· καὶ γὰρ λάλον ποιεῖ τὸν σιωπηλὸν καὶ θεραπευτικὸν τὸν D αἰσχυντηλόν, ἐπιμελῆ δὲ καὶ φιλόπονον τὸν ἀμελῆ καὶ ῥᾴθυμον· ὃ δ’ ἄν τις μάλιστα θαυμάσειεν, φειδωλὸς ἀνὴρ τε καὶ μικρολόγος ἐμπεσὼν εἰς ἔρωτα καθάπερ εἰς πῦρ σίδηρος ἀνεθεὶς καὶ μαλαχθεὶς ἁπαλὸς καὶ ὑγρὸς καὶ ἡδίων, ὥστε τουτὶ τὸ παιζόμενον μὴ πάνυ φαίνεσθαι γελοῖον ὅτι ‘πράσου φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλλάντιον’ (Paroem. I 447. II 47 al.). ἐλέχθη δὲ καὶ ὅτι τῷ μεθύειν τὸ ἐρᾶν ὅμοιόν ἐστιν· ποιεῖ γὰρ θερμοὺς καὶ ἱλαροὺς καὶ διακεχυμένους, γενόμενοι δὲ τοιοῦτοι πρὸς τὰς ἐπῳδοὺς καὶ ἐμμέτρους μάλιστα φωνὰς ἐκφέρονται· καὶ τὸν Αἰσχύλον φασὶ τὰς τραγῳδίας πίνοντα ποιεῖν καὶ E